**ἀντισπαστικὸν δίμετρον βραχυκατάληκτον /**
**antispasticum dimetrum brachycatalectum**

**1.** Schol. in Aesch. *Eum*. 837 (I, p. 92. 21 sqq. Smith) + ἡ στροφὴ αὕτη τοῦ χοροῦ κώλων ἐστὶν ἀντισπαστικῶν διμέτρων βραχυκαταλήκτων καὶ καταληκτικῶν καὶ πενθημιμερῶν καὶ μονομέτρων καὶ τριμέτρων ια′.

⏖ ⏖ – ⏑ ⏖ ⏓

**2.** Tzetz. *de metr. Pind.* 47. 21 sqq.

ἔστι δὲ τὸ δωδέκατον βραχυκατάληκτόν τι
δίμετρον ἀντισπαστικόν· ἰδού σοι καὶ ἡ θέσις.
ἀντίσπαστος
⏑ – – ⏑ ⏓ =.

49. 1 sqq.

τὸ τρίτον ἀντισπαστικὸν βραχυκατάληκτόν τε
καὶ δίμετρον, ἀντίσπαστος καὶ δύο συλλαβαί γαρ.
ἀντίσπαστος ποὺς ἀντίσπαστος.
⏑ – – ⏑ – –.

Tzetz. *de metr. Pind.* 96. 16 sqq.

τὸ ἕκτον ἀντισπαστικὸν βραχυκατάληκτόν τε,
ὡς δίμετρον καθίστασθαι· φερεκράτειον εἴποις
μιᾶς δεούσης συλλαβῆς· ἐκεῖνο γὰρ ὑπάρχει
δίμερον καταληκτικὸν καὶ ἑφθημιμερές τι.
ἀντίσπαστοι ἥμισυς ἀντίσπαστος.
⏑ – – ⏑ ⏑ ⏓ .

Anon. Harl. 24. 13 sq. δίμετρον (*scil.* ἀντισπαστικόν) βραχυκατάληκτον (Pind. *Ol*. 2. 53)

φέρει τῶν τε καὶ τῶν.

Anon. Vat. 22 (Pind. *Ol*. 2. 6)

⏑ – – ⏑ . ⏓ ⏓ .
ἔρεισμ᾽ Ἀκράγαντος

δίμετρον (*scil.* ἀντισπαστικόν) βραχυκατάληκτον φερεκράτειον λειπούσης τῆς τελευταίας συλλαβῆς. (Pind. *Ol*. 2. 16)

⏑ – – ⏑ . – – .
ἀποίητον οὐδ᾽ ἄν

ὅμοιον. (Pind. *Ol*. 4. 5)

– – – ⏑ . – – .
αὐτίκ᾽ ἀγγελίαν

ὅμοιον. (Pind. *Ol*. 10. 4)

⏑ – – ⏑ . – ⏓ .
Ἀλάθεια Διός

ὅμοιον.

Schol. vet. in Pind. *Ol*. 2 (p. 2. 18 sqq. Tessier) τὸ ι′ ἀντισπαστικὸν δίμετρον βραχυκατάληκτον … τὸ ιβ′ ἀντισπαστικὸν δίμετρον βραχυκατάληκτον.

Schol. vet. in Pind. *Ol.* 2 (p. 3. 2 sq. Tessier) τὸ γʹ ἀντισπαστικὸν δίμετρον βραχυκατάληκτον.

Schol. vet. in Pind. *Ol.* 10 (p. 9. 7 sq. Tessier) τὸ ςʹ ἀντισπαστικὸν δίμετρον βραχυκατάληκτον, ὅ ἐστι φερεκράτειον παρὰ συλλαβήν.

Schol. vet. in Pind. *Pyth.* 5 (p. 18. 9 sqq. Tessier) τὸ θʹ ἀντισπαστικὸν δίμετρον βραχυκατάληκτον … τὸ ιβʹ ἀντισπαστικὸν δίμετρον βραχυκατάληκτον. τὸ ιγʹ ὁμοίως τὸ αὐτό.

Schol. vet. in Pind. *Nem.* 4 (p. 23. 8 sq. Tessier) τὸ βʹ δίμετρον ἀντισπαστικὸν βραχυκατάληκτον.

Schol. vet. in Pind. *Isthm.* 8 (p. 32. 6 sqq. Tessier) τὸ θʹ ἀντισπαστικὸν δίμετρον βραχυκατάληκτον. τὸ ιʹ τὸ αὐτό. τὸ ιαʹ τὸ αὐτό. τὸ ιβʹ τὸ αὐτό … τὸ κβʹ ἀντισπαστικὸν δίμετρον βραχυκατάληκτον.

Schol. rec. in Pind. *Ol.* 2 (p. 105. 16 sq. Abel) τὸ ιβʹ ἀντισπαστικὸν δίμετρον βραχυκατάληκτον.

Schol. rec. in Pind. *Ol.* 2 (p. 106. 2 sqq. Abel) τὸ γʹ ἀντισπαστικὸν δίμετρον βραχυκατάληκτον, ὃ καὶ ἡμιόλιον λέγεται διὰ τὸ ἔχειν τόν τε ὁλόκληρον πόδα καὶ τὸ ἥμισυ τούτου.

Schol. rec. in Pind. *Ol.* 4 (p. 171. 13 sqq. Abel) τὸ ηʹ φερεκράτειον ἀντισπαστικόν. ἔστι δ᾽ ὅτε ἐκ σπονδείου ἄρχεται ὁ αʹ ἀντίσπαστος. πολλάκις δὲ καὶ διτρόχαιος γίνεται. ἐνδέει δὲ συλλαβῆς πρὸς τὸ τέλειον Φερεκράτειον εἶναι. δίμετρον γάρ ἐστι βραχυκατάληκτον καὶ ἡμιόλιον.

Schol. rec. in Pind. *Ol.* 10 (p. 342. 18 sqq. Abel) τὸ ςʹ ἀντισπαστικὸν δίμετρον βραχυκατάληκτον ἤτοι ἡμιόλιον· οἱ δέ φασι φερεκράτειον ἐνδέον μιᾷ συλλαβῇ.

Schol. rec. in Pind. *Ol.* 14 (p. 420. 13 sqq. Abel) τὸ ζʹ, ὡς ἐμοὶ δοκεῖ, ἀσυνάρτητόν ἐστιν ἐκ παιωνικοῦ κρητικοῦ διμέτρου ἀκαταλήκτου καὶ ἀντισπαστικοῦ διμέτρου βραχυκαταλήκτου, ἢ κατὰ συνίζησιν τῆς τελευταίας πενθημιμεροῦς, ὃ καλεῖται δοχμιακόν, τὸ ἀντισπαστικὸν δηλονότι. εἰ δὲ βούλει, ἀντισπαστικὸν ἔστω τρίμετρον ἀκατάληκτον ἐξ ἐπιτρίτου δευτέρου, διιάμβου καὶ παίωνος αʹ διὰ τὴν ἀδιάφορον.

Schol. in Aesch. *sept.* 203-207b (II 2, p. 101. 18 sqq. Smith) εἰσὶν οὖν τὰ τοῦ παρόντος χοροῦ κῶλα ἀντισπαστικὰ τρίμετρα βραχυκατάληκτα δʹ, τὸ δὲ εʹ δίμετρον βραχυκατάληκτον ἤτοι ἡμιόλιον. δέχονται δὲ πεντασυλλάβους πόδας καὶ ἑξασυλλάβους.

Schol. in Aristoph. *av.* 676b. 6 (p. 107 Holwerda) Tr τὸ εʹ ὅμοιον ἡμιόλιον ἤτοι δίμετρον (*scil.* ἀντισπαστικόν) βραχυκατάληκτον.

Schol. rec. in Aristoph. *nub.* 700a. 12 sq. (p. 107 Koster) Tr[1] τὸ ηʹ· (v. 708)

τί πάσχεις τί κάμνεις

δίμετρον βραχυκατάληκτον ἀντισπαστικὸν ἐξ ἀντισπάστου ἑφθημιμερές.

Schol. rec. in Aristoph. *nub.* 700b. 5 sq. (p. 108 Koster) Tr[2] τὸ ηʹ δίμετρον βραχυκατάληκτον ἀντισπαστικόν.

Schol. rec. in Aristoph. *nub.* 949a. 13 sq. (p. 133 Koster) Tr[1] τὸ ηʹ· (v. 956)

ἀνεῖται σοφίας

δίμετρον ἀντισπαστικὸν βραχυκατάληκτον ἐξ ἀντισπάστου καὶ ἰάμβου.

Schol. rec. in Aristoph. *nub*. 949b. 8 sqq. (p. 134 Koster) Tr$^2$ τὸ η′ ἀντισπαστικὸν δίμετρον βραχυκατάληκτον ἐξ ἀντισπάστου καὶ ἰάμβου· καλεῖται δὲ τοῦτο ἡμιόλιον διὰ τὸ ἔχειν τὸν ὅλον πόδα τὸν τετρασύλλαβον καὶ τὸ ἥμισυ αὐτοῦ, τὰς β′ συλλαβάς.

Schol. Ald. in Aristoph. *nub*. 700 (p. 273. 25 sq. Koster) τὸ ὄγδοον δίμετρον ἀντισπαστικὸν βραχυκατάληκτον ἢ ἐκ δύοιν βακχείοιν ἀκατάληκτον.

Schol. rec. in Aristoph. *ran*. 316-322a. 2 sqq. (p. 58 Chantry) τὸ α′ (v. 316) ‘Ἴακχ᾽ ὦ Ἴακχε᾽ ἀντισπαστικὸν δίμετρον βραχυκατάληκτον Ps/ τὸ α′ (v. 316) ἐκ βακχείου καὶ ἀμφιβράχεος Reg, τὸ β′ (v. 317) ‘Ἴακχ᾽ ὦ Ἴακχε᾽ ὅμοιον ... 316-317 ἀντισπαστικὰ κῶλα β′, δίμετρα βραχυκατάληκτα, ἐξ ἀντισπάστου καὶ τροχαίου Ps.

Schol. in Aristoph. *ran*. 316-322b. 1 sqq. (p. 59 Chantry) Ἴακχ᾽ ὦ Ἴακχε] ἡ πάροδος τῆς ᾠδῆς ταύτης τοῦ τῶν μυστῶν χοροῦ κώλων ἐστὶν ἀντισπαστικῶν δύο διμέτρων βραχυκαταλήκτων.

Schol. rec. in Aristoph. *ran*. 323-336. 4 sq. (p. 60 Chantry) τὸ β′ (v. 325) Ἴακχ᾽ ὦ Ἴακχε᾽ δίμετρον βραχυκατάληκτον ἀντισπαστικόν, ἐξ ἀντισπάστου καὶ τροχαίου.

Schol. rec. in Aristoph. *ran*. 323-339. 5 sqq. (p. 61 Chantry) τὸ γ′ (v. 325) ἀντισπαστικὸν ἡμιόλιον, ἤτοι δίμετρον βραχυκατάληκτον. εἴρηται δὲ ὅτι σπανίως εὑρίσκεται ἐν τοῖς τετρασυλλάβοις μέτροις τὰ βραχυκατάληκτα.

Schol. rec. in Aristoph. *ran*. 323-353. 3 sq. (p. 61 Chantry) τὸ τρίτον (v. 325) ὅμοιον (*scil.* ἀντισπαστικὸν δίμετρον βραχυκατάληκτον) ὁποτερῳοῦν τῶν ἐν τῇ παρόδῳ.

Schol. rec. in Aristoph. *ran*. 340-353b. 5 (p. 66 Chantry) τὸ γ′ (v. 342) ὅμοιον τῷ γ′ (*scil.* τῷ ἀντισπαστικῷ ἡμιολίῳ ἤτοι διμέτρῳ βραχυκαταλήκτῳ) τῆς στροφῆς.

Schol. rec. in Aristoph. *ran*. 394-397a. 7 sq. (p. 77 Chantry) τὸ δ′ (v. 397) ‘τῆσδε τῆς χορείας᾽ (*scil.* ἀντισπαστικόν) δίμετρον βραχυκατάληκτον, ἐκ διτροχαίου καὶ σπονδείου.

Schol. A in Hephaest. 164. 18 sqq. πόλιν δ᾽ ἐπράθομεν] καὶ ταῦτα ἀντισπαστικὰ δίμετρα βραχυκατάληκτα πολυσχημάτιστα· ὁ γὰρ πρῶτος ἀντίσπαστος, ἄνω στρέψας τὸν τελευταῖον τροχαῖον, πεποίηκε καθαρὸν χορίαμβον, τοῦ πρώτου ὄντος τροχαίου· ἡ δὲ ἀπόθεσις ἀντισπαστική. τὸ δέ· (Corinn. 22 [PMG 675] c Page)

πόλιν δ᾽ ἐπράθομεν.

ἀντίσπαστος καθαρὸς καὶ ἴαμβος, διὰ τὴν ἀδιαφορίαν. τὸ δέ· (Corinn. 22 [PMG 675] d Page)

προφανὴς <γλούκου δέ τις ᾄδων>

ἀντίσπαστος καὶ χορίαμβος καὶ συλλαβή· τὸ δέ· (Corinn. 22 [PMG 675] e Page)

πελέκεσιν δονεῖται

ἀντίσπαστος ἔχων λελυμένην τὴν μίαν μακρὰν καὶ τροχαῖος.

Apthon. GL VI 88. 26 sq. dimetrum (*scil.* antispasticum) brachycatalectum, quod quidam pherecration ἀτελές vocant:

choreis<que> cantat.

⏑ – ⏑ ⏑ – –

**3.** Schol. rec. in Pind. *Ol.* 14 (p. 420. 3 sqq. Abel) τὸ γʹ ἀντισπαστικὸν διπλοῦν φερεκράτειον· σύγκειται γὰρ ἐκ βʹ κώλων φερεκρατείων, ὧν τὸ βʹ ἀτελές. τὸ μὲν γάρ ἐστι δίμετρον καταληκτικὸν ἤτοι ἑφθημιμερές, τὸ δὲ δίμετρον βραχυκατάληκτον ἀντὶ ἀντισπάστου παίωνα βʹ ἔχον.

– ⏑ – – ⏑ –

**4.** Schol. in Aesch. *sept*. 203-207b (II 2, p. 101. 18 sqq. Smith) εἰσὶν οὖν τὰ τοῦ παρόντος χοροῦ κῶλα ἀντισπαστικὰ τρίμετρα βραχυκατάληκτα δʹ, τὸ δὲ εʹ δίμετρον βραχυκατάληκτον ἤτοι ἡμιόλιον. δέχονται δὲ πεντασυλλάβους πόδας καὶ ἑξασυλλάβους.

Schol. in Aristoph. *av*. 676b. 6 (p. 107 Holwerda) Tr τὸ εʹ ὅμοιον ἡμιόλιον ἤτοι δίμετρον (*scil.* ἀντισπαστικόν) βραχυκατάληκτον.

× – ⏑ – × –

**5.** Schol. Tricl. in Eur. *Or*. 1426-1451a (p. 78 de Faveri) τὸ κδ´ ἰαμβικὸν δίμετρον βραχυκατάληκτον· οὕτω γάρ μοι δοκεῖ ταῦτα βέλτιον εἶναι γράφειν. τὸ γὰρ (v. 1446b) ‘κακὸς Φωκεὺς μόνον’ ἀδιάγνωστόν ἐστι τίνος ἂν εἴη μέτρου. εἰ καὶ δοκεῖ ἀντισπαστικόν.

Schol. rec. in Aristoph. *nub*. 804b. 4 (p. 118 Koster) $Tr^2$ τὸ γʹ δίμετρον (*scil.* ἀντισπαστικόν) βραχυκατάληκτον.

Schol. rec. in Aristoph. *nub*. 1303b. 8 sq. (p. 180 Koster) $Tr^2$ τὸ ιʹ ὅμοιον δίμετρον (*scil.* ἀντισπαστικόν) βραχυκατάληκτον· εἰ δὲ βούλει, ἰαμβικόν.

Schol. Ald. in Aristoph. *nub*. 804a. (p. 274. 8 sq. Koster) τὸ τρίτον ἐξ ἐπιτρίτου τρίτου δίμετρον (*scil.* ἀντισπαστικόν) βραχυκατάληκτον. [*P.S.*]